Οἱ ἀθλοφόροι ἀνδρείως· θωρακισάμενοι πίστει· τὸν τῆ κῦ σταυρὸν· τὰς παρατάξεις καθεῖλον τὰς τῆ ἐχθροῦ· ὃ σφαγὰς ἐκομίσαντο :~

Ἐν χαρᾷ συλλαβοῦσα, τὸν ἀσώματον λόγον· καὶ τῆ τὸν αὐτὸν ἀπορρήτως

μὴν τεκοῦσα· ἱκέτευε ἐκτενῶς, τῶ σωθῆναι τὰς ψυχὰς ἡμῶν :~ ὁ εἱρμός·

Ἰω ὑπερφύσιν μεσῖτ· καὶ κατὰ φύσιν παρθένον· τὴν μόνην σὲ γυναικῶν ἀνυμνημένην· ἀσιγησίαν οἱ πιστοὶ κατα-χρέος μεγαλύνομεν :~

Ἕξαψαλμον· Ψῶν αἰνῶν·

Ὁ ὀρθὸς τοῖς ἄκροις·

Ἰσχύσεν ταῖς βασάνοις, ἐπέμφθη σοι παρὰ θεοῦ· δεόπεμπτε Ἰσραήλ· ἐν ᾗ πρὸς πίστιν θεωμαῖ· σωθῆναι τὴν ἐπεισάκτον· μεθ' οὗ σε μικρῶ ἀφνιμοῦμεν :~

Τῆς ἑορτῆς, ὅμοιον·

Ὁ ἐκ παρθένου λάμψας, ἐν Βηθλεὲμ σωματικῶς· τοὺς Ἰορδάνην μυσάχθη· ῥοῦν ἐκπλῦναι γηγενῶν· φωταγωγῶν τοὺς ἐν σκότει, διὰ βαπτίσματος θείου :~

Εἰς τοὺς αἴνους· ἰδιόμελον· ἦχος δ' β'· αἱ ἀγγελικαί·

Ἰδὲ ἐμφιγυρεῖς· βαπτισθῆναι ὁμολογίαν· ἣν προεκτελῶ, διὰ τοῦτον σεσαυ· τὰ πάλαι ἄφθορ ἄρτι· καὶ λογίζου τὰ πρόσφατα· πίστευε θῶ συγκαταβαίνει· καὶ προσέλθωμεν ἐμοὶ ὑπουργεῖ· ἦλθε γάρ, διὰ ἁμαρτίαν τοῦ ἀδάμ, καθᾶραι τοῦ σώματος :~

Ἄρωμαι τὰς ἡμῶν, ἁμαρτίας βαπτίσματι ὑμῶν· ἦλθον ἰοῦ, προσκαταβαίνει τὰ ῥεῖθρα Ἰορδάνου· ἐγὼ δὲ δεδουλωμένου, ὃ φεικτὸν τῆς ἐλευθερώσεως· πῶς οὖν μοι κελεύεις σὲ βαπτίσαι, αὐτὸς ἐμὲ καθᾶραι ἥκεις· καὶ πῶς βάπτισμα ὃ παρέμου βαπτιζητεῖς, ὃ πάντων καθάρσιον :~

Φύσεως ἐμῆς, ἀκατάληπτος ὁ λόγος· δούλου δὲ μορφὴν, ἐνδυσάμενος προσῆλθον, βαπτισθῆναι τὸν Ἰορδάνην· μηδαμῶς μοι ἀμφίβαλλε· δεῦρο μὴ φοβοῦ, προσέσχηκά μοι· τὴν δεξιὰν σὺ κορυφὴν μου, πεπηγὼς βόησον· ἐλογημένος ὁ φανείς, ἐν ἡμῖν δόξα σοι :~

Δόξα, ὅμοιον·

Ὁ σὲ λειτουργῶν, ἰωάννης τῷ θεαρέστῳ· χαίρει τῇ ψυχῇ, καὶ βοᾷ μετ' ἀγγέλων· φρενοῦσθε· συγχάρητέ μοι πᾶσαι, γενεαὶ τῶν προπατόρων· ἦλθε γὰρ λιμῶν λύτρωσις· ἐλήλυθεν ἐν Ἰορδάνῃ χρὶς ἄσπιλος, τῆς ἁμαρτίας τοῦ ἀδάμ, καθαρὰ ὡς ἀπλανὴς :~

Καὶ νῦν ὅμοιον·

Σωθῶμεν λαοί, τῷ τεχθέντι ἐκ παρθένου, καὶ ἐν ποταμῷ, βαπτισθέντι Ἰορδάνου· καὶ πρὸς αὐτὸν βοῶμεν· βασιλεῦ πάσης κτίσεως· δώρησαι λιμὸν ἀκατακρίτως, ἐν καθαρᾷ τῇ σωφρόνει· πρῶς φθάσαι σου, καὶ τὴν ἁγίαν ἐκμεχρῶν, τελέσωμεν ἔγερσιν :~

Εἰς τὸν στίχον στιχηρὰ· ἦχος β'·

Στίχος τοῦ ἀψάλτου·

Δεῦτε ὁ βασιλεύς· ἰδοὺ λιμὸς πρεσβυτικός, τῆς ἐκλελοιπότος· λαοὶ ἀγαλλιάσθε· ὃ φῶς γὰρ βαπτίζεται :~

Ψαλμ. Διὰ τοῦτο μνησθήσομαί σου· τε τοῖς βαπτιζομένοις, μετὰ σαρκὸς ὃ θεὸς ἡμῶν φῶς τοῖς ἐν τῷ σκότει· ἐπέφανε καὶ πᾶσιν· ἡ χάρις ἐξαπέστειλεν :~

Ψαλμ. Εἴδωσάν σε ὕδατα· λύχνος τῷ φωτὶ, ἡ αὐγὴ τῷ ἡλίῳ· ὁ πρόδρομος τῷ λόγῳ· ὁ φίλος τῷ νυμφίῳ· προφήτα καθυπούργησον :~

Δόξα καὶ νῦν· ἦχος π' δ'·

Ἰωαμψὴν βαπτιστὰ, ὁ ἐν μήτρᾳ χαρείσας με τὸν ἀμνὸν, ἐν ποταμῷ μοι διακόνησον· μετὰ ἀγγέλων μοι λειτούργησον· ἐκτείνας ἅψαι τῇ χειρί σου, τῆς κορυφῆς μου τῆς ἀχραντου· καὶ ὅταν ἴδῃς τὰ ὄρη βρέμοντα, καὶ τὸν Ἰορδάνην ἀναστρεφόμενα, σὺν τούτοις βόησον· ὁ σαρκωθεὶς ἐκ παρθένου, εἰς λιμὸν σεσαυ κὲ δόξα σοι :~

Ἀρχὴ τῆς ἀκολουθίας τῶν ὡρῶν τῶν ἁγίων θεοφανείων·

Δεῦτε μυσθῶμεν· ὅτι ἐὰν τύχῃ ἐν σαββάτῳ, ἢ ἐν κυριακῇ, λιτὴ παρέμοιμι τῶν ἁγίων θεοφανείων, ποιοῦμεν τὴν ἀκολουθίαν

λουθίαν τῶν ὡρῶν τῇ παρασκευῇ, γινομένης ἐνάτης:~

Περὶ ὡραν ά τῆς ἡμέρας σημαίνει, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ πάντες· Ϛ εὐλογοῦντος τοῦ ἱερέως, ἀρχόμεθα δὲ τρισάγιον· εἶτα δὲ δεῦτε προσκυνήσωμεν, τρεῖς· καὶ ςιχολογοῦμεν καὶ τοὺς παρόντας τρεῖς ψαλμούς:~

ψαλμὸς ε΄·

Τὰ ῥήματά μου ἐνώτισαι κε΄· σύνες τῆς κραυγῆς μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ θς΄ μου· ὅτι πρὸς σὲ προσεύξομαι κε΄· δὲ πρωὶ εἰσακούσῃ τῆς φωνῆς μου· δὲ πρωὶ παραςήσομαί σοι, καὶ ἐπόψει με· ὅτι οὐχὶ θς΄ θέλων ἀνομίαν σὺ εἶ· οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου· ἐμίσησας πάντας τοὺς ἐργαζομένοις τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας δὲ ψεῦδος· ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσεται κς΄· ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου, εἰσελεύσομαι εἰς τὸν οἶκον σου, προσκυνήσω, πρὸς ναὸν ἅγιόν σου· ἐν φόβῳ σου κε΄, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου· ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου· ὅτι οὐκ ἔςιν ἐν τῷ ςόματι αὐτῶν ἀλήθεια· ἡ καρδία αὐτῶν ματαία· τάφος ἀνεωγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· κρίνον αὐτοὺς ὁ θς΄· ἀποπεσάτωσαν, ἀπὸ τῶν διαβουλιῶν αὐτῶν· κατὰ δὲ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν, ἔξωσον αὐτούς· ὅτι παρεπίκραναν σε κε΄· καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς· καὶ καυχήσονται ἐν σοί, οἱ ἀγαπῶντες δὲ ὄνομά σου· ὅτι σὺ εὐλογήσεις δίκαιον κε΄, ὡς ὅπλῳ εὐδοκίας ἐςεφάνωσας ἡμᾶς:~

ψαλμὸς κβ΄·

Κς΄ ποιμαίνει με, καὶ οὐδέν με ὑςερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν· ἐπὶ ὕδατος ἀνὰ παύσεως ἐξέθρεψέ με· τὴν ψυχήν μου ἐπέςρεψε· ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ· ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ· ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗται με παρεκάλεσαν· ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ δὲ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιςον· καὶ δὲ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· Ϛ δὲ κατοικεῖν με ἐν οἴκῳ κυ΄, εἰς μακρότητα ἡμερῶν:~

ψαλμὸς κς΄·

Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι· κς΄ ὑπερασπιςὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω· ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου· οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον· ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναςῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω· μίαν ἠτησάμην παρὰ κυ΄ ταύτην ζητήσω· δὲ κατοικεῖν με ἐν οἴκῳ κυ΄ πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· τοῦ θεωρεῖν με τὴν τερπνότητα κυ΄, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ· ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ· ἐν ἡμέρᾳ κακῶν μου ἐσκέπασέ με· ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ ἐν πέτρᾳ ὕψωσέ με· καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου· ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ, θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ· ἄσω καὶ ψαλῶ τῷ κω΄· εἰσάκουσον κε΄ τῆς φωνῆς μου, ἧς ἐκέκραξα· ἐλέησόν με Ϛ εἰσάκουσόν μου· σὲ εἶπεν ἡ καρδία μου κν΄ ζητήσω· ἐξε ζήτησή σε δὲ πρόσωπόν μου· δὲ πρόσωπόν σου κε΄ ζητήσω· μὴ ἀποςρέψῃς δὲ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλί-

νης ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου· βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με· καὶ μὴ ἐγκαταλίπῃς με ὁ θς ὁ σήρ μου· ὅτι ὁ πήρ μου καὶ ἡ μήρ μου ἐγκατέλιπόν με, ὁ δὲ κς προσελάβετό με· νομοθέτησόν με κε ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ· ἕνεκα τῶν ἐχθρῶν μου μὴ παραδῶς με εἰς ψυχὰς θλιβόντων με· ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ· πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ ἐν γῇ ζώντων· ὑπόμεινον τὸν κν· ἀνδρίζου καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν κν:~

Δόξα, καὶ νῦν· ἀλληλούϊα τρεῖς·

εἶτα τὸ τροπάριον· ἦχος δ'·

Ἀπεστρέφετο ποτὲ, ὁ ἰορδάνης ποταμός· τῇ μελωτῇ ἐλισσαιέ· ἀναληφθέντος ἡλιοῦ· καὶ διηρεῖτο τὰ ὕδατα ἔνθεν σ ἔνθεν· καὶ γέγονεν αὐτῷ ξηρὰ ὁδὸς ἡ ὑγρὰ, εἰς τύπον ἀληθῶς τοῦ βαπτίσματος· δι' οὗ ἡμεῖς τὴν ῥέουσαν τοῦ βίου διαπορῶμεν διάβασιν· χς ἐφάνη, τὴν πᾶσαν κτίσιν θέλων ἀνακαινίσαι:~ καὶ νῦν·

Τί σε καλέσωμεν ὦ κεχαριτωμένη· οὐρανὸν, ὅτι ἀνέτειλας τὸν ἥλιον τῆς δικαιοσύνης· παράδεισον, ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας· παρθένον, ὅτι ἔμεινας ἄφθορος, ἀγνὴν μρα, ὅτι ἔσχες ἐν ἀγκάλαις υἱὸν τὸν πάντων θν· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν·

Εἶτα τὰ ἀλ· ἦχος πλ δ'·

Ἑήμερον τῶν ὑδάτων ἁγιάζεται ἡ φύσις· καὶ ῥήγνυται ὁ ἰορδάνης, καὶ τῶν ἰδίων ναμάτων ἐπέχει τὸ ῥεῦμα· δεσπότην ὁρῶν ῥυπτόμενον:~

πάλιν τὸ αὐτὸ, ἀνευ στίχου· ἀλ·

Διὰ τοῦτο μνησθήσομαί σου· ὁ αὐτός·

Ὡς ἄνθρωπος ἐν ποταμῷ, ἦλθες χε βασιλεῦ· καὶ δουλικὸν βάπτισμα λαβεῖν σπεύδεις ἀγαθὲ, ὑπὸ τῶν τοῦ προδρόμου χειρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν φιλάνθρωπε:~ ὁ αὐτός·

ἀλ, Εἴδοσάν σε ὕδατα· Δόξα ὁ αὐτός·

Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν τοῦ κυ· ἦλθες κε μορφὴν δούλου λαβών· βάπτισμα αἰτῶν, ὁ μὴ γνοὺς ἁμαρτίαν· εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν· σύντρομος γέγονεν ὁ πρόδρομος, καὶ ἐβόησε λέγων· πῶς φωτίσει ὁ λύχνος τὸ φῶς· πῶς χειροθετήσει ὁ δοῦλος τὸν δεσπότην· ἁγίασον ἐμὲ καὶ τὰ ὕδατα σήρ, ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν:~

Καὶ νῦν τὸ αὐτό· προκείμενον ἦχος δ'·

Εβρόντησεν κς ἐπὶ ὑδάτων πολλῶν·

ἀλ· Ἀγαπήσω σε κε ἡ ἰσχύς μου·

Εἶτα ἡ προφητεία·

Προφητείας ἡσαΐου τὸ ἀνάγνωσμα· ἁδὲ λέγει κς· εὐφράνθητι ἔρημος διψῶσα· ἀγαλλιάσθω καὶ ἀνθήτω ὡς κρῖνον· ὀξανθήσει, καὶ ὑλοχαρίσει· καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ ἰορδάνου· σ ἡ δόξα τοῦ λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ καρμήλου· καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυ, καὶ τὸ ὕψος τοῦ θυ· ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα παρακαλέσατε· καὶ εἴπατε τοῖς ὀλιγοψύχοις τῇ διανοίᾳ, ἰσχύσατε μὴ φοβεῖσθε· ἰδοὺ ὁ θς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται· τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος· καὶ τρανὴ ἔσται γλῶσσα μοιτιλάλων· ὅτι ἐρράγη ἐν ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ· σ ἔσται ἡ ἄνυδρος εἰς ἕλη· καὶ εἰς τὴν διψῶσαν γῆν, πηγὴ ὕδατος ἔσται· καὶ ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων· ἐπαύλεις σειρήνων, καὶ κάλαμοι καὶ ἕλη· καὶ ἔσται ἐκεῖ ὁδὸς καθαρά· καὶ ὁδὸς ἁγία κληθήσεται· οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος· οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος· οὐδὲ δέσμιοι πορεύσονται δι' αὐτῆς, οὐδ' οὐ μὴ πλανηθῶσι· καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν θηρίων τῶν πονηρῶν, οὐ μὴ ἀνα

βη

βῆ εἰς αὐτὴν, οὐ δὲ μὴ ἀγρευθῇ ἐκεῖ· ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι καὶ συνηγμένοι ὑπὸ κῦ· καὶ ἀποστραφήσονται καὶ ἥξουσιν εἰς σιὼν μετ' εὐφροσύνης καὶ ἀγαλλιάματος· Ὃ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν· αἴνεσις καὶ ἀγαλλίαμα εὐφροσύνης καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη λύπη καὶ στεναγμός:~

Καὶ εὐθὺς ὁ ἀπόστολος·
πράξεων τῶν ἀποστόλων·

Ἐν ταῖς ἡμέραις ἐκείναις· ὡς ἐπλήρου ἰωάννης τὸν δρόμον ἔλεγε· τίνα με ὑπονοεῖτε εἶναι· οὐκ εἰμὶ ἐγὼ, ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἄξιος δ' ὑπόδημα τῶν ποδῶν λῦσαι· ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν θν· ὑμῖν ὁ λόγος τῆς σρίας ἀπεστάλη· οἱ γὰρ κατοικοῦντες ἰλῆμ, καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν, τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν· καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ἠτήσαντο πηλάτον ἀναιρεθῆναι αὐτόν· ὡς δὲ ἐτελέσθησαν πάντα τὰ γεγραμμένα περὶ αὐτοῦ, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον· ὁ δὲ θς ἤγειρεν αὐτὸν ἐκνεκρῶν· ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους, τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς γαλιλαίας εἰς ἰλῆμ· οἵτινες νῦν εἰσὶ μάρτυρες αὐτοῦ πρὸς τὸν λαὸν, καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην· ὅτι ταύτην ὁ θς ἐκπεπλήρωκε τοῖς τέκνοις ἡμῶν, ἀναστήσας ἰν:~

Εὐαγγέλιον κατὰ ματθαῖον·

Ψῶ καιρῶ ἐκείνω· παραγίνεται ὁ ἰς ἀπὸ τῆς γαλιλαίας ἐπὶ τὸν ἰορδάνην:~

Ψὰ διαβήματά μου κατεύθυνον·

Ψὸ τρισάγιον· δ', Παναγία τριάς·
Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστίν·

Καὶ εὐθὺς δ' κοντάκιον· ἦχος δ'·

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ ἰορδάνου, γεγονὼς ὁ κς τῷ ἰωάννῃ ἐκβοᾶ· μὴ δηλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἥκω, ἀδὰμ τὸν πρωτόπλαστον:~

Ψὸ, κε ἐλέησον μ'· Ὃ ἡ εὐχή· Ὁ ἐν πάντι καιρῷ καὶ ἐν πάσῃ ὥρᾳ· κε ἐλέησον τρεῖς· δόξα καὶ νῦν· τὴν τιμιωτέραν· ἐν ὀνόματι κῦ εὐλόγησον πέρ· Ὁ θς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς·

Χριστὲ δ' φῶς δ' ἀληθινὸν, δ' φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· σημειωθήτω ἐφ' ἡμᾶς δ' φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψώμεθα φῶς δ' ἀπρόσιτον· καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν, πρὸς ἐργασίαν τῶν ἐντολῶν σου· πρεσβείαις, τῆς παναχράντου σου μρς, καὶ πάντων τῶν ἁγίων ἀμήν:~

ΩΡΑ ΨΡΙΨΗ·

Ψὸ τρισάγιον· δ', παναγία τριάς· πέρ ἡμῶν· δ', κε ἐλέησον ιβ'· δ', δεῦτε προσκυνήσωμεν τρεῖς· ἐν τοὺς ψαλμούς· ψαλμὸς, κή·

Ἐνέγκατε τῷ κῷ υἱοὶ θυ· ἐνέγκατε τῷ κῷ υἱοὺς κριῶν· ἐνέγκατε τῷ κῷ, δόξαν καὶ τιμήν· ἐνέγκατε τῷ κῷ, δόξαν ὀνόματι αὐτοῦ· προσκυνήσατε τῷ κῷ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ· φωνὴ κῦ ἐπὶ τῶν ὑδάτων· ὁ θς τῆς δόξης ἐβρόντησε· κς ἐπὶ ὑδάτων πολλῶν· φωνὴ κῦ ἐν ἰσχύϊ· φωνὴ κῦ ἐν μεγαλοπρεπείᾳ· φωνὴ κῦ συντρίβοντος κέδρους, καὶ συντρίψει κς, τὰς κέδρους τοῦ λιβάνου· καὶ λεπτυνεῖ αὐτὰς, ὡς τὸν μόσχον τὸν λίβανον· καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων· φωνὴ κῦ, διακόπτοντος φλόγα πυρός· φωνὴ κῦ συσσείοντος ἔρημον· καὶ συσσείσει κς, τὴν ἔρημον κάδης· φωνὴ κῦ καταρτιζομένη ἐλάφους· καὶ ἀποκαλύψει δρυμούς· Ὃ ἐν

τῷ

τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν· κε̅ τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται· κε̅ βασιλεὺς εἰς τὸν αἰῶνα· κε̅ ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει· κε̅ εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ:~

ψαλμὸς μα̅·

Ὀν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ θε̅· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θν̅ τὸν ἰσχυρὸν τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι, τῷ προσώπῳ τοῦ θυ̅· ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ, ἄρτος ἡμέρας καὶ νυκτός· ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστὶν ὁ θε̅ σου· ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου· ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ θυ̅· ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος· ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με· ἔλπισον ἐπὶ τὸν θν̅, ὅτι ἐξομολογήσομαι αὐτῷ· σρίον τοῦ προσώπου μου, καὶ ὁ θε̅ μου· πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη· διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς ἰορδάνου, καὶ ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ· ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταῤῥακτῶν σου· πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον· ἡμέρας ἐντελεῖται κε̅ τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ αὐτῷ παρ' ἐμοί· προσευχὴ τῷ θῷ τῆς ζωῆς μου· ἐρῶ τῷ θῷ ἀντιλήπτωρ μου εἶ, διατί μου ἐπιλάθου· καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι, ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν· ἐν τῷ κατακλᾶσθαι τὰ ὀστᾶ μου, ὀνείδιζόν με οἱ ἐχθροί μου· ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστὶν ὁ θε̅ σου· ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με· ἔλπισον ἐπὶ τὸν θν̅, ὅτι ἐξομολογήσομαι αὐτῷ· σρίον τοῦ προσώπου μου καὶ ὁ θε̅ μου·

ψαλμὸς ν̅·

Ἐλέησόν με ὁ θε̅, κατὰ τὸ μέγα ἔλεός σου· καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με· ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ πάντος· σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῆς ἐν τοῖς λόγοις σου, καὶ νικήσης ἐν τῷ κρίνεσθαί σε· ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήρ μου· ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα, καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι· ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χίονα λευκανθήσομαι· ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα· ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου, ἐξάλειψον· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θε̅, καὶ πνα̅ εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλης ἀπ' ἐμοῦ· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σρίου σου, καὶ πνι̅ ἡγεμονικῷ στήριξόν με· διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι· ῥῦσαί με ἐξ αἱμάτων ὁ θε̅, ὁ θε̅ τῆς σρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου· κε̅ τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου· ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις· θυσία τῷ θῷ, πνα̅ συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θε̅ οὐκ ἐξουδενώσει· ἀγάθυνον κε̅ ἐν τῇ εὐδοκίᾳ σου τὴν σιών· καὶ οἰκοδομηθήτω τὰ τείχη ἱλήμ· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους:~

Δόξα· ἀπεστρέφετο ποτὲ, ὁ ἰορδάνης

ποτα-

ποταμός· Ὁ νῦν· Θκε σὺ εἶ ἡ ἄμπε-
λος ἡ ἀληθινή· Καὶ τὰ ἰδιόμελα·

ἦχος πλ δ'·

Ἡ τοῦ προδρόμου καὶ βαπτιστοῦ· τοῦ προ-
φήτου καὶ ὑπὲρ πάντας τιμηθέντος
τοὺς προφήτας· ἐτρόμαξε νῦν χεὶρ
δεξιά· ὅτε ἐθεάσατό σε τὸν ἀμνὸν τοῦ
θυ τὸν καθαίροντα, κόσμου ἁμαρτήμα-
τα· καὶ ἀγωνία συσχεθεὶς ἐβόα· οὐ τολ-
μῶ προσψαῦσαι λόγε τῆς κορυφῆς σου·
αὐτὸς, ἁγίασόν με, καὶ φώτισον οἰκτίρ-
μον· αὐτὸς γὰρ εἶ ἡ ζωὴ καὶ τὸ φῶς, καὶ
ἡ εἰρήνη τοῦ κόσμου:~ ἦχος δ'·

ἑτ· Διὰ τοῦτο μνησθήσομαί σου·

Ἡ τριὰς ὁ θς ἡμῶν· ἑαυτὴν ἡμῖν σήμερον,
ἀδιαιρέτως πεφανέρωκεν· ὁ μὲν γὰρ
πήρ, ἐν αρχῇ μαρτυρίαν τῷ συγγενεῖ ἐπε-
φώνηκε· τὸ πνᾶ περιστερᾶς ἐν εἰκόνι
κατέπτη οὐ υνόθεν· ὁ υἱὸς τὴν ἄχραντον,
κορυφὴν τῷ προδρόμῳ ὑπέκλινε· Ὁ
βαπτισθεὶς, τὸ ἀνθρώπινον ἐκ δουλείας
ἐρρύσατο ὡς φιλάνος:~ ἑτ· Εἴδοσάν
σε ὕδατα· Δόξα ἦχος πλ α'·

Ἐρχόμενος μετὰ σαρκὸς, πρὸς ἰορδάνην
κε· βαπτισθῆναι θέλων ἐν σχήματι ἀν-
θρώπου ζωοδότα· ἵνα τοὺς πλανηθέν-
τας ἡμᾶς ὡς εὔσπλαγχνος, πάσης μη-
χανῆς καὶ παγίδος τοῦ δράκοντος, ῥυσά-
μενος φωτίσης· ἐκ πρς μεμαρτύρησαι·
τὸ δὲ θεῖον πνᾶ, περιστερᾶς ἐν εἴδεσοι
ἐπέστη· ἀλλ' οἴκησον ψυχαῖς ἡμετέραις
σαυτὸν φιλάνθρωπε:~

καὶ νῦν τὸ αὐτό· προκείμενον ἦχος δ'·
εἴδοσάν σε ὕδατα ὁ θς· ἑτ· φωνὴ κυ
ἐπὶ τῶν ὑδάτων· Καὶ εὐθὺς ἡ προ-
φητεία· προφητείας ἡσαΐου τὸ ἀνά-
γνωσμα·

Τὰ δὲ λέγει κς· λούσασθε καὶ καθαροὶ γί-
νεσθε· ἀφέλετε τὰς πονηρίας ὑμῶν,
ἀπὸ τῶν καρδιῶν ὑμῶν, ἀπέναντι τῶν
ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν
πονηριῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν·
ἐκζητήσατε κρίσιν· ῥύσασθε ἀδικούμε-
νον· κρίνατε ὀρφανῶ, καὶ δικαιώσα-
τε χήραν· καὶ δεῦτε καὶ διαλεχθῶμεν
λέγει κς· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑ-
μῶν ὡς φοινικοῦν, ὡς χίονα λευκανῶ·
ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευ-
κανῶ· καὶ ἐὰν θέλητε καὶ εἰσακούση-
τέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε·
ἐὰν δὲ μὴ θέλητε, μὴ δὲ εἰσακούσητέ
μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ
στόμα κυ ἐλάλησε ταῦτα:~

εἶτα ὁ ἀπόστολος·

Ἐπράξεων τῶν ἀποστόλων τὸ ἀνάγνω-
ν ταῖς ἡμέραις ἐκείναις· ἐγένετο ἐν τῷ
τὸν ἀπολλῶ εἶναι ἐν κορίνθῳ, παῦλον
διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν
εἰς ἔφεσον, καὶ εὑρὼν τινὰς μαθητὰς εἶ-
πε πρὸς αὐτούς· εἰ πνᾶ ἅγιον ἐλάβε-
τε, πιστεύσαντες· οἱ δὲ εἶπον· ἀλλ' οὐδὲ
εἰ πνᾶ ἅγιον ἐστὶν ἠκούσαμεν· εἶπε δὲ
πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε·
οἱ δὲ εἶπον· εἰς τὸ ἰωάννου βάπτισμα· εἶ-
πε δὲ παῦλος· ἰωάννης μὲν ἐβάπτισε,
βάπτισμα μετανοίας τῷ λαῷ, λέγων·
εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν, ἵνα πιστεύ-
σωσι· τουτέστιν εἰς τὸν χν ἰν· ἀκούσαν-
τες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ κυ
ἰυ· καὶ ἐπιθέντος αὐτοῖς τοῦ παύλου τὰς
χεῖρας, ἦλθε τὸ πνᾶ τὸ ἅγιον ἐπ' αὐτούς·
ἐλάλουν τε γλώσσαις καὶ προεφή-
τευον· ἦσαν δὲ οἱ πάντες ἄνδρες, ὡσεὶ
δεκαδύο· εἰσελθὼν δὲ εἰς τὴν συναγω-
γὴν ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς·
διαλεγόμενος Ὁ πείθων τὰ περὶ τῆς
βασιλείας τοῦ θυ:~ εὐαγγέλιον, κα-
τὰ μάρκον· Ἀρχὴ τοῦ εὐαγγελίου ἰυ χυ·

Κς ὁ θς εὐλογητός· εὐλογητὸς κς, ἡμέ-
ραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ
θς τῶν σωτηριῶν ἡμῶν· ὁ θς ἡμῶν, ὁ
θς τοῦ σώζειν:~

Τὸ τρισάγιον· τὸ παναγία τριάς· τὸ
πέρ ἡμῶν· εἶτα τὸ κοντάκιον· Ἐν τοῖς
ῥείθροις σήμερον· τὸ κε ἐλέησον μ'· ὁ ἐν
πάντι καιρῷ· τὸ κε ἐλέησον τρεῖς·
Δόξα καὶ νῦν· Τὴν τιμιωτέραν·
Ἐν ὀνόματι κυ εὐλόγησον πέρ·

ὁ θς

Ὁ θς̄ οἰκτειρήσαι ἡμᾶς·

Λέσποτα θε̄ πε̄ρ πάντοκράτορ, κε̄ υἱὲ μονογενὲς ἰῡ χε̄ καὶ ἅγιον πνᾶ· μία θεότης· μία δύναμις· ἐλέησόν με τὸν ἁμαρτωλὸν, καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσον με τὸν ἀνάξιον δοῦλον σου, ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:~

ΩΡΑ ΕΚΤΗ

Ἐπισυνάτετομεν δὲ καὶ τὴν ἕκτην ὥραν· λέγοντες εὐθύς· δεῦτε προσκυνήσωμεν γ'· καὶ τοὺς ψαλμούς·

ψαλμός, ογ'·

Ἵνα τί ὁ θς̄ ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου· μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς· ἐλυτρώσω ῥάβδω κληρονομίαν σου· ὄρος σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ· ἔπαρον τὰς χεῖρας σου, ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος· ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντέν σε ἐν μέσῳ τῆς ἑορτῆς σου· ἔθεντο τὰ σημεῖα αὐτῶν, σημεῖα καὶ οὐκ ἔγνωσαν· ὡς εἰς τὴν ἔξοδον ὑπεραίνω· ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό· ἐν πελέκει καὶ λαξευτηρίῳ, κατέῤῥαξαν αὐτὴν· ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου· εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου· εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συντέλειαι αὐτῶν ἐπὶ τὸ αὐτό· δεῦτε καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ θῡ ἀπὸ τῆς γῆς· τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν· οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι· ἕως πότε ὁ θς̄ ὀνειδιεῖ ὁ ἐχθρός· παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος· ἵνα τί ἀποστρέφεις τὴν χεῖρα σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος· ὁ δὲ θς̄ βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, εἰργάσατο σρίαν ἐν μέσῳ τῆς γῆς· σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν· σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος· σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος· ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς αἰθίοψι· σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥοις· σὺ ἐξήρανας ποταμοὺς ἠθάμ· σή ἐστιν ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ· σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον· σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς· θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτὰ, μνήσθητι ταύτης· ἐχθρὸς ὠνείδισε τὸν κν̄, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου· μὴ παραδῶς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι· τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος· ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν· μὴ ἀποστραφήτω τεταπεινωμένος κατησχυμένος· πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου· ἀνάστα ὁ θς̄ δίκασον τὴν δίκην σου· μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν· μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου· ἡ ὑπερηφανία τῶν μισούντων σε, ἀνέβη διὰ παντός:~

ψαλμὸς ος'·

Φωνῇ μου πρὸς κν̄ ἐκέκραξα· φωνῇ μου πρὸς τὸν θν̄ καὶ προσέσχεμοι· ἐν ἡμέρᾳ θλίψεώς μου, τὸν θν̄ ἐξεζήτησα· ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ καὶ οὐκ ἠπατήθην· ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου· ἐμνήσθην τοῦ θῡ καὶ ἠυφράνθην· ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ πνᾶ μου· προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου· ἐταράχθην καὶ οὐκ ἐλάλησα· διελογισάμην ἡμέρας ἀρχαίας· καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα· νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἤσχαλλε τὸ πνᾶ μου· μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κς̄, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεὰν,

μεσαὶ, μὴ ἐπλήσθησαν τῆ οἰκτιρήσεώ σου θε; ἢ συνέξει ἐν τῆ ὀργῆ αὐτῆ τοὺς οἰκτιρμούς αὐτῆ; καὶ εἶπα νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου· ἐμνήσθην τῶν ἔργων κῦ, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου, καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω. ὁ θε ἐν τῆ ἁγίᾳ ἡ ὁδός σου· τίς θε μέγας ὡς ὁ θε ἡμῶν· σὺ εἶ ὁ θε ὁ ποιῶν θαυμάσια· ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου· ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου· τοὺς υἱοὺς ἰακὼβ καὶ ἰωσήφ· εἶδόσαν σε ὕδατα καὶ ἐφοβήθησαν· ἐταράχθησαν ἄβυσσοι πλῆθος ἤχους ὑδάτων· φωνὴν ἔδωκαν αἱ νεφέλαι· καὶ γὰρ τὰ βέλη σου διαπορεύονται φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ· ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ· ἐσαλεύθη καὶ ἔτρεμος ἐγένετο ἡ γῆ· ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς· καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται· ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου· ἐν χειρὶ μωυσῆ καὶ ἀαρών:— ψαλμὸς ϛ'.

Ο κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ, αὐλισθήσεται· ὁ ῥηθεὶς τῷ κῷ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου· ὁ θε μου βοηθὸς ἐλπιῶ ἐπ' αὐτὸν, ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος ἡρατῶν, καὶ ἀπὸ λόγου ταραχώδους· ἐν τοῖς μεταφρένοις αὐτοῦ, ἐπισκιάσει σοι· καὶ ὑπὸ τὰς πτέρυγας αὐτῶ ἐλπεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ· οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας· ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου· ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου· πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ· πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει· ὅτι σὺ κέ ἡ ἐλπίς μου· τὸν ὕψιστον ἔθου καταφυγήν σου· οὐ προσελεύσεται πρὸς σὲ κακά· καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου· ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου· ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα· ὅτι ἐπ' ἐμὲ ἤλπισε καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου· κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμὶ ἐν θλίψει· ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν· μακρότητα ἡμερῶν, ἐμπλήσω αὐτόν· καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου:—

Δόξα. Ἡ περιφέρεται τότε. Σημεῖον. Ὅτι οὐκ ἔχομεν παῤῥησίαν.

Εἶτα τὰ ἰδιόμελα. Ἦχος πλ. δ'.

Πάσα λέγλ κὲ πρὸς ἰωαννίκιον· προφῆται δεῦρο βαπτίσομέ με, τὸν σὲ δημιουργήσαντα· τὸν φωτίζοντα χάριτι, καὶ καθαίροντα ἁπάντας· ἄψαι θείας κορυφῆς μου, καὶ μὴ διστάσῃς· πρόφθασε ἄφαν ἄρτι· καὶ γὰρ πληρῶσαι παρεγένομαι, δικαιοσύνῃ πᾶσαν· σὺ οὖν μὴ διστάσῃς ὅλως· καὶ γὰρ τὸν κεκρυμμένον τοῖς ὕδασι πολέμιον, τὸν ἄρχοντα τοῦ σκότους· ἐπεῖχόμαι ὀλέσαι· λυτρούμενος τὸν κόσμον, ἐκ τῶν αὐτοῦ παγίδων ἡμῶν· παρέχων ὡς φιλάνθρωπος, ζωὴν τὴν αἰώνιον:— Ἦχος πλ. β'.

Διὰ τοῦτο μνησθήσομαί σου· ἡμέραν ἡ ψαλμικὴ προφητεία, πέρας λαβεῖν ἐπείγεται· ἡ θάλασσα γὰρ φησὶν εἶδε καὶ ἔφυγεν· ὁ ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω· ἀπὸ προσώπου κῦ, ἀπὸ προσώπου τοῦ θεοῦ ἰακώβ· ἐλθόντος τοῦ δούλου δέξασθαι βάπτισμα· ἵνα ἡμεῖς εἰδωλικῆς ἀκαθαρσίας ἐκπλυνθέντες, φωτισθῶμεν ταῖς ψυχαῖς διὰ τοῦτο:— Δόξα. Εἶδόσαν σε ὕδατα·

Δόξα ἦχος πλ. α'.

Ἰησοῦ χαρίζῃ σου τοῖς ὕδασι τὸ ἰορδάνη· τί αὖ πάλιν ἔρχεσθε ῥαντίσματι, καὶ οὐ προσβαίνῃ

βαίνω τὴν κατὰ φύσιν πορείαν· οὐ δέομαι φορᾶς φησὶ πῦρ καταγελίσκον· ὀξίσομαι καὶ φείδομαι τὴν ἄκραν συγκατάβασιν· ὅπου οὐκ εἴωθα τὸν καθαρὸν ἀποπλυῦναι· οὐκ ἔμαθον τὸν αἱματαμάτην ἀποσμήχειν· ἀλλὰ τὰ ῥυπωμένα σκύβαλα ἐκκαθαίρω· ἀκάθαρτος φλέγω μὴ ἁμαρτημάτων διδάσκει, ὁ ἐν ἐμοὶ βαπτιζόμενος χς· ὁ ἰωάννης συμμαρτυρεῖ μοι· ἡ φωνὴ τοῦ λόγου βοᾷ· ἴδε ὁ ἀμνὸς τοῦ θυ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· αὐτῷ προσβοήσωμεν· ὁ ἐπιφανεὶς ἁγίοις, εἰς τὴν ἡμῶν σεσιαν δόξα σοι· καὶ νῦν ὁ αὐτό· προκείμενον ἦχος δ· Φωνὴ κυ ἐπὶ τῶν ὑδάτων· ἁγ· ἐμέλησε τῷ κῷ ὑμῶν θυ· εἶτα ἡ προφητεία·

Προφητείας ἡσαΐου ὁ ἁγιάσμωσμα·

Τάδε λέγει κς· αὐτὴ ἡσατε ὕδωρ μετ' εὐφροσύνης, ἐκ τῶν πηγῶν τοῦ σεσίου· καὶ ὄψεις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· ὑμνεῖτε τὸν κν· βοᾶτε τὸ ὄνομα αὐτοῦ· ἀναπείλατε ἐν τοῖς ἔθνεσι, τὰ ἔνδοξα αὐτοῦ· μιμνήσκεσθε ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ· ὑμνήσατε τὸ ὄνομα κῦ, ὅτι ὑψηλὰ ἐποίησεν· ἀναπείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ· ἀναλλιάζεσθε καὶ ἀφραίνεσθε οἱ κατοικοῦντες σιών· ὅτι ὑψώθη ὁ ἅγιος τοῦ ἰηλ ἐν μέσῳ αὐτῆς:~ Ὁ ἀπόστολος·

πρὸς ἑβραίους ἐπιστολῆς·

Ἀδελφοί· ὅσοι εἰς χν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὡς ἠγέρθη χς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πρς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν· εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ· ὁ γὰρ ἀποθανὼν, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας· εἰ δὲ ἀπεθάνομεν σὺν χῷ, πιστεύομεν ὅτι καὶ συζήσωμεν αὐτῷ· εἰδότες ὅτι χς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει· ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφ' ἅπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ θῷ· οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θῷ· ἐν χῷ ἰῦ τῷ κῷ ἡμῶν:~

Εὐαγγέλιον κατὰ μάρκον·

Τῷ καιρῷ ἐκείνῳ· ἦλθεν ὁ ἰς εἰς ναζαρὲτ εἰς τὴν γαλιλαίαν·

Καὶ εὐθύς· ταχὺ προσκαταλαβέτωσαν· εἶτα θρισάγιον· παναγία θεοτόκε σῶσον ἡμᾶς· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία· καὶ τῶν ἐθνῶν σήμερον· Τὸ κὲ ἐλέησόν με· Ὁ ἐν παντὶ καιρῷ· Κὲ ἐλέησόν με· Δόξα καὶ νῦν· Ψιὰ πνεύματα· ἐν ὀνόματι κῦ, εὐλόγησον πάτερ· ὁ θς οἰκτειρήσει ἡμᾶς· καὶ εὐλογήσει ἡμᾶς· εἶτα ἡ εὐχή·

Θε καὶ κε τῶν δυνάμεων, καὶ πάσης κτίσεως δημιουργέ· ὁ διὰ πολλὴν χαρὰν ἀμείρακάς σου ἐλέους σου, τὸν μονογενῆ σου υἱόν, τὸν κν ἡμῶν ἰν χν· κατὰ πέμψας σωτηρίαν τῷ γένει ἡμῶν· ἐ διὰ τοῦ τιμίου αὐτοῦ σταυροῦ, ὃ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαῤῥήξας· ἐ θεὰν βραβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ σκότους· αὐτὸς δέσποτα φιλανθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν, τὰς εὐχαριστηρίους ταύτας, καὶ ἱκετηρίους ἐντεύξεις· καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ πάσης πνευματικοῦ· καὶ παντὸς τῶν κακούντων ἡμᾶς ἐχθρῶν, ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν· καθήλωσον ἐκ τοῦ φόβου σου, τὰς σάρκας ἡμῶν· καὶ μὴ ἐκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας· ἀλλὰ τῷ πόθῳ σου φώτισον ἡμῶν τὰς ψυχάς· ἵνα πρὸς σὲ διὰ παντὸς ἀτενίζοντες, καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸν ἀΐδιον καὶ ἀπρόσιτον κατανοοῦντες φῶς, ἀκαταπαύστως σοι τὴν ἐξομολόγησιν

Digitized by Google

γησιν καὶ ἀχαριςίαν αὐτα πέμπωμεν· τῷ αὐταρχῳ πρι, σωὶ τῷ μονογενεῖ σου υἱῷ, καὶ τῷ πνι ἁγιῳ καὶ ζωοποιῷ σου πνι· νυν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν :~

ΩΡΑ ΕΝΑΤΗ.

Πρὸ τεισάρων· ὁ πνα τεσσαρακοστή· πάτερ ἡμῶν· ὁ κε ἐλέησον· ιβ· Δεῦτε προσκυνήσωμεν· γ· ψ τοὺς ψαλμούς· ψαλμός· ϛβ· κς ἐβασίλευσεν, ἐνπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο κς δύναμιν καὶ περιεζώσατο· καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται· ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε· ἀπὸ τοῦ αἰῶνος σὺ εἶ· ἐπῆραν οἱ ποταμοί κε· ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν· ἀροῦσιν οἱ ποταμοὶ ἐπιτείνεις αὐτῶν· ἀπὸ φωνῶν ὑδάτων πολλῶν· θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης· θαυμαστὸς ἐν ὑψηλοῖς ὁ κς· τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα κε, εἰς μακρότητα ἡμερῶν :~ ψαλμός· ριγ·

Ἐξόδῳ ἰηλ ἐξ αἰγύπτου, οἴκου ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη ἰουδαία ἁγίασμα αὐτοῦ· ἰηλ ἐξουσία αὐτοῦ· ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω· τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ, ὡς ἀρνία προβάτων· τί σοι θάλασσα ὅτι ἔφυγες καὶ σὺ ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω· τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων· ἀπὸ προσώπου κυ, ἐσαλεύθη ἡ γῆ· ἀπὸ προσώπου θυ ἰακὼβ· τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων· μὴ ἡμῖν κε, μὴ ἡμῖν· ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν ὅτι τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου· μήποτε εἴπωσι τὰ ἔθνη

που ὁ θς αὐτῶν· ὁ δὲ θς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς πάντα ὅσα ἠθέλησεν ἐποίησε· τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται· ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται· χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν· ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς· οἶκος ἰηλ ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ὑμῖν· οἶκος ἀαρὼν, ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ὑμῖν· οἱ φοβούμενοι τὸν κύριον, ἤλπισαν ἐπὶ κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ὑμῖν· κς μνησθεὶς ἡμῶν, ἐυλόγησεν ἡμᾶς· ἐυλόγησε τὸν οἶκον ἰηλ· ἐυλόγησε τὸν οἶκον ἀαρών· ἐυλόγησε τοὺς φοβουμένους τὸν κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων· προσθείη κς ἐφ' ὑμᾶς· ἐφ' ἡμᾶς, καὶ ἐπὶ τοὺς υἱοὺς ἡμῶν· ἐυλογημένοι ὑμεῖς τῷ κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν· ὁ οὐρανὸς τῷ οὐρανῷ τῷ κῳ· τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων· οὐχ οἱ νεκροὶ αἰνέσουσί σε κε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ἅδου· ἀλλ' ἡμεῖς οἱ ζῶντες, ἐυλογήσομεν τὸν κν, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος :~

ψαλμὸς πέ·

Κλίνον κε ὸ οὖς σου, ὃ ἐπάκουσόν μου· ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ· φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιος εἰμί· σῶσον τὸν δοῦλόν σου ὁ θς μου, τὸν ἐλπίζοντα ἐπὶ σέ· ἐλέησόν με κε, ὅτι πρὸς σὲ κεκράξομαι, ὅλην τὴν ἡμέραν· εὐφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ κν τὴν ψυχήν μου· ὅτι σὺ κε, χρηστὸς, καὶ ἐπιεικὴς, καὶ πολυέλεος, πᾶσι τοῖς ἐπικαλουμένοις σε·

ἐμώπισε κε̃ τὴν προσευχήν μου, καὶ
πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου· ἐν
ἡμέρᾳ θλίψεώς μου, ἐκέκραξα πρὸς
σε, ὅτι ἐπήκουσάς μου· οὐκ ἔστιν ὅμοιός
σοι ἐν θεοῖς κε̃, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα
σου· πάντα τὰ ἔθνη ἐποίησας, ἥξουσι
καὶ προσκυνήσουσιν ἐμώπιόν σου κε̃·
καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέγας εἶ
σὺ, καὶ ποιῶν θαυμάσια· σὺ εἶ θς̃ μό-
νος· ὁδήγησόν με κε̃ ἐν τῇ ὁδῷ σου, καὶ
πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφραν-
θήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄ-
νομά σου· ἐξομολογήσομαί σοι κε̃ ὁ θς̃
μου, ἐν ὅλῃ καρδίᾳ μου· καὶ δοξάσω τὸ
ὄνομά σου εἰς τὸν αἰῶνα, ὅτι τὸ ἔλεός
σου μέγα ἐπ' ἐμέ, καὶ ἐρρύσω τὴν ψυχήν
μου, ἐξ ἅδου κατωτάτου· ὁθς̃ παρανό-
μοι ἐπανέστησαν ἐπ' ἐμέ, καὶ συναγωγὴ
κραταιῶν, ἐζήτησαν τὴν ψυχήν μου,
καὶ οὐ προσέθεντό σε ἐνώπιον αὐτῶν·
καὶ σὺ κε̃ ὁ θς̃ μου, οἰκτίρμων καὶ ἐλεή-
μων, μακρόθυμος καὶ πολυέλεος καὶ
ἀληθινός, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέη-
σόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου,
καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου·
ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν,
καὶ ἰδέτωσαν οἱ μισοῦντά με, καὶ αἰσχυν-
θήτωσαν· ὅτι σὺ κε̃ ἐβοήθησάς μοι, καὶ
παρεκάλεσάς με :~

Δόξα· ἀπεφέρετο τότε· καὶ νυν·
Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ παρθένου.

εἶτα τὰ ἰδιόμελα· ἦχος βαρύς·

θ ἄνθρωπος ἦν κατ' εἰκόνα τοῦ ποιητοῦ καὶ γῆς
ποιητὴν, ἐν ποταμοῖς γυμνωθέντα·
βαπτισθεὶς ὑπὸ δούλου, εἰς ἡμῶν σεσαγ-
δεχόμενον ὡς δοῦλον· καὶ χορεῖαι ἀγγέλων
ἐξεπλήττοντο, φόβῳ καὶ χαρᾷ· μεθ' ὧν
προσκυνοῦμέν σε, σῶσον ἡμᾶς :~

ἦχος β'· ἀ· Διὰ τοῦτο μνησθήσομαί σου·
τε πρὸς αὐτὸν ὁρμώμενον ὁ πρόδρομος·
τὸν ἐν τῇ δόξῃ ἐνδόξως θεωρῶν· ἰδὲ ὁ
λυτρούμενος τὸν κόσμον παραγέγονεν
ἐκ φθορᾶς· ἵνα ῥύσηται ἡμᾶς ἐκ θλί-
ψεως· ἵνα δώσῃ ἡμῖν ἄφεσιν πα-

ραπτωμάτων ἄφεσιν χα-
ριζόμενος καὶ γῆς· ἐκ παρθένου ἀχράν-
τως ἐλήλυθε δι' ἔλεον· καὶ αὐτὸ δοῦλον,
ἵνα οὓς θεραπεύσῃ· αὐτὸ δὲ σκότους,
φωτίζῃ· ὁ αὐθρώπινον, διὰ τοῦ ὕδατος
τοῦ θείου βαπτισμοῦ αὐτοῦ· λοιπὸν, δεῦ-
τε συμφώνως, αὐτὸν δοξολογήσωμεν·
σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι :~

ἀ· ἐβόησάν σε ὕδατα ὁ θς̃· πάλιν ὁ
αὐτός· Δόξα ἦχος πλ. ά·

Ἰδεῖν ὅπως ὁ παρὼν ἰδιόμελον, ἁμαγμῶ
σκεται πορφύρεον ἁλαβῶς ὁ μεγαλο
φώνως παρὰ τοῦ καμομαρχου, ἐν τῷ μέ
σῳ τοῦ μαοῦ· εἶτα φάλλεται μελωδικῶς
ὑπὸ τῶν δύο χορῶν, εἰς ἦχον πλ. ά :~

Τῶν χειρῶν σου τὴν ἀναμέτρησιν, τὴν ἀνύ
στακτον κορυφὴν τοῦ δεσπότου, μεθ' ἧς
καὶ δακτύλῳ αὐτὸν ἡμῖν καθυπέδει-
ξας· ἔπαρον ὑπὲρ ἡμῶν πρὸς αὐτὸν
βαπτισθέντα, ὡς παρρησίαν ἔχων πολλήν·
καὶ γὰρ μείζων τῶν προφητῶν ἀνεδέ-
χθη, ὑπ' αὐτοῦ μεμαρτύρησται· τοὺς ὀ-
φθαλμούς σου πάλιν δὲ, τοὺς ὑπὲρ ἅπα-
γμον πηγὰς καταδύντας, ὡς ἐν ᾅδου τοῦ
τεφρᾶς κατελθόν· ἁμάρτασιν πρὸς
αὐτὸν βαπτισθέντα· ἵλεων ἡμῖν ἀποφήνα-
σθαι μενος· καὶ δεῦρο σῶθι μεθ' ἡμῶν, ἐπι-
σφραγίζων τὴν ὕμνησιν, καὶ προεξάρ-
χων τῆς ἀναγωγῆς :~

προκείμενον, ἦχος γ'·

Κς̃ φωτισμός μου καὶ σωτήρ μου·

στ· Κς̃ ὑπερασπιστὴς τῆς ζωῆς μου·
προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα·
ἀδὲ λέγει κς̃· καιρῷ δεκτῷ ἐπήκουσά
σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά
σοι, καὶ ἔπλασά σε· καὶ ἔδωκά σε καὶ
ἔθηκάσε εἰς διαθήκην ἔθνων, τοῦ κατα-
στῆσαι τὴν γῆν, καὶ κατακληρονομῆσαι
κληρονομίαν ἠρήμου· λέγοντα τοῖς ἐν
δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει
ἀνακαλύπτεσθε· ἐν πάσαις ταῖς ὁδοῖς
βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς
τρίβοις, ἡ νομὴ αὐτῶν· οὐ πεινάσου-
σιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐ-
τοὺς ὁ καύσων, οὐδὲ ὁ ἥλιος· ἀλλ' ὁ

ἐλεῶν

ἐλεῶν αὐτούς, παρακαλέσει αὐτούς, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς· ϛ θήσω πᾶν ὄρος, εἰς ὁδόν· καὶ πᾶσαν τείβον, εἰς βόσκημα αὐτοῖς· ἰδοὺ ϗρι πόρρωθεν ἥξουσιν· ϗρι ἀπὸ βορρᾶ ϗ θαλάσσης· ἄλλοι δὲ, ἐκ γῆς τοβρωῶν· ἀφραινέλωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω γῆ· ῥηξάτω τὰ ὄρη ἀφρενσύνην, καὶ οἱ βουνοὶ δικαιοσύνῃ, ὅτι ἱλέησεν ὁ θς τὸν λαὸν αὐτοῦ, ϛ τοὺς ταπεινοὺς τοῦ λαοῦ παρεκάλεσε· εἶπε δὲ σιών, ἐγκατέλιφέμε κέ, καὶ ὁ θς ἐπελάθετό μου· μὴ ἐπλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς; ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ταῦτα ἐπλάθοι τὸ γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπλησμήσω σου λέγει κς παντοκράτωρ:

εἰς τὸν ἐπίσκοπος, ψαλμὸς.

Ϡ ἐκραξα πρὸς σε· ἐπεφαύσκει μοι χάρις τοῦ θυ, μοι σέλος πᾶσιν αὐτοῖς· παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ϗ θυμίας· σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θυ καὶ σωτῆρος ἡμῶν ιυ χυ· ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας· καὶ καθαρίσῃ ἑαυτῷ, λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων· ὅτε δὲ ἐφάνη ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπιφανεῖσα τοῦ σωτῆρος ἡμῶν θυ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς· διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινίσεως πνεύματος ἁγίου· οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ ιυ χυ τοῦ σωτῆρος ἡμῶν· ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενόμεθα, κατ' ἐλπίδα ζωῆς αἰωνίου:

διαψάλλομα κατὰ λυχνίαν

ἐν ἔτει πέμπτε καὶ δεκάτῳ· ϛ δ' θυς· Μὴ παρίδωσ ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου· Ϡ εισάγομεν· ἀλληλούια· ἀνάστα κε ὁ θς ἡμῶν· κομπάκιον· ἐν τοῖς ῥείθροις· Κύριε ἐλέησον μ'· καὶ ἡ ᾠδή· Ο ἐν ἁγίῃ καιρῷ· Ϡ ὁ κε ἐλέησον γ'· Δόξα καὶ νῦν· Ϡ ἐν ἡμιωτόραμ· ϑ ἐν ὀνόματι κῦ· ὁ θς οἰκτειρήσαι· Καὶ ἡ ᾠδή· ἐπόπτα κε ἰῦ χε ὁ θς ἡμῶν, ὁ μακροθυμήσας ϗ τοῖς ἡμῶν πλημμελήμασι· καὶ ἄχρι τῆς παρούσης ὥρας ἀναγωγὴν ἡμᾶς, ἐν ᾗ ϗ τῷ ζωοποιοῦ ξύλου κρεμάμενος, τῷ δι' ἡμῶν ληστῇ, τὴν εἰς τὸν παράδεισον ὁδὸν ποίησας εἴσοδον· καὶ θανάτῳ τὸν θάνατον ὤλεσας, ἱλάσθητι καὶ ἡμῖν τοῖς ταπεινοῖς, καὶ ἁμαρτωλοῖς, καὶ ἀναξίοις δούλοις σου· ἡμάρτομεν γὰρ ϗ ἠνομήσαμεν, ϗ οὐκ ἐσμὲν ἄξιοι ἆραι τὰ ὄμματα, καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ· διότι καταλείπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σου, καὶ ἐπορεύθημεν ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν ἡμῶν· ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα, φεῖσαι ἡμῶν κέ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον· ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν· ἐξελοῦ ἡμᾶς, ἐκ τῆς τοῦ ἀντικειμένου χειρός, καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα· καὶ μέχρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα· ἵνα τὸν παλαιὸν ἡμῶν ἄνθρωπον ἀποθέμενοι, τὸν μέσον ἐνδυσώμεθα· καὶ συζήσωμεν τῷ ἡμετέρῳ δεσπότῃ καὶ ἀδελφέτῃ· καὶ οὕτω τοῖς σοῖς ἐξακολουθοῦντα προστάγμασιν, εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταντήσωμεν· ἔνθα πάντων ἐστὶν ἀφραινομένων ἡ κατοικία· σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ ἀφροσύνη ἀνάπαυσις, καὶ ἀγαλλίασις, πάντων ἀναπαυομένων σε χε ὁ θς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου πρί, ϗ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν·

Εἶτα ψάλλομεν τὰ τυπικὰ χύμα·
Εὐλόγει ἡ ψυχή μου τὸν κν̄, καὶ πάντα τὰ ἐν τός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ·
εἶτα· Δόξα τῷ πρι̅ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι·
Αἴνει ἡ ψυχή μου τὸν κν̄, αἰνέσω κύριον ἐν τῇ ζωή μου·
Ο μονογενὴς υἱός, καὶ λόγος τοῦ θυ̅·
Εν τῇ βασιλεία σου, μνήσθητι ἡμῶν κε̅·
Μακάριοι οἱ πτωχοὶ τῷ πνι̅·
Μακάριοι οἱ πενθοῦντες·
Μακάριοι οἱ πραεῖς ὅτι αὐτοί·
Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες·
Μακάριοι οἱ ἐλεήμονες ὅτι αὐτοί·
Μακάριοι οἱ καθαροὶ τῇ καρδία·
Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοί·
Μακάριοι οἱ δεδιωγμένοι·
Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν·
χαίρετε καὶ ἀγαλλιᾶσθε· Δόξα καὶ νυν̄·
Μνήσθητι ἡμῶν κε̅ ὅταν·
Μνήσθητι ἡμῶν δέσποτα, ὅταν ἔλθης·
Μνήσθητι ἡμῶν ἅγιε·
χορὸς ὁ ἐπουράνιος, ὑμνεῖ σε καὶ λέγει· ἅγιος, ἅγιος, ἅγιος κ̅ς̅ σαβαώθ, πλήρης ὁ ὀυ̅ν̅ὸς, καὶ ἡ γῆ τῆς δόξης σου· ἐτι·
Προσέλθετε πρὸς αὐτ̅, καὶ φωτίσθητε·
χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε καὶ λέγει· ἅγιος ἅγιος· Δόξα·
χορὸς ἁγίων ἀπέλων καὶ ἀρχαπέλων, μετὰ πασῶν τῶν ἐπουρανίων δυνάμεων ὑμνεῖ σε καὶ λέγει· ἅγιος, ἅγιος, ἅγιος κ̅ς̅ σαβαώθ· πλήρης ὁ ὀυ̅ν̅ὸς καὶ ἡ γῆ:~
καὶ νυν̄· πιστεύω εἰς ἕνα θν̅·
Ἄνες ἄφες· συγχώρησον ὁ θ̅ς̅ τὰ παραπτώματα ἡμῶν· τὰ ἑκούσια, καὶ τὰ ἀκούσια· τὰ ἐν ἔργῳ, καὶ λόγῳ· τὰ ἐν γνώσει, καὶ ἀγνοίᾳ· τὰ ἐν νυκτὶ, καὶ ἡμέρᾳ· τὰ ἐν παραβάσει, καὶ παρακοῇ· τὰ κατὰ νοῦν, καὶ διάνοιαν· τὰ πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος:~ πάτερ ἡμῶν·
Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία· Ψὸ κοντάκιον· ἐν τοῖς ῥείθροις σήμερον·
Εκτενὴ καὶ ἀπόλυσις·

Μετὰ δὲ τὴν ἀπόλυσιν ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν, προσευχῇ καὶ ἀναγνώσει σχολάζοντες, ἄχρι τῆς ὥρας τοῦ λυχνικοῦ·
Περὶ δὲ ὥραν, ι̅· σημαίνει τὸ μέγα· καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ προεύτρεπισθέντος τοῦ ἱερέως καὶ τοῦ διακόνου, εἰπερ ἐστι· καὶ ποιήσαντος τὴν εὐλόγησιν, ἤγουν· εὐλογημένη ἡ βασιλεία τοῦ πρ̅ς̅ καὶ· ψάλλομεν τὸν προοιμιακὸν ψαλμόν· μεθ' ὃν γίνεται συναπτὴ μεγάλη παρὰ τοῦ διακόνου, ἢ παρὰ τοῦ ἱερέως· καὶ μετὰ τὴν συναπτὴν, ψάλλομεν τὸ κε̅ ἐκέκραξα εἰς ἦχον β̅· καὶ θυμιᾷ ὁ ἱερεὺς ὡς ἔθος, ἢ ὁ διάκονος· ἱστῶμεν δὲ στίχοις η̅· καὶ ψάλλομεν τοὺς δ̅, δευτέρους· Ψὸν φωτισμὸν ἡμῶν· Ψοῦ λυτρωτοῦ ἡμῶν· Ψὰ ἰορδάνεια ῥεῖθρα· Σῶσαι βουλόμενος· ποιοῦντες τὰ τέσσαρα, η̅· ψαλλομένων δὲ τούτων, ἀπέρχεται ὁ ἱερεὺς μετὰ τοῦ διακόνου, καὶ ποιεῖ τὴν προσκομιδήν· Δόξα καὶ νυν̄, ἦχος β̅· Υπέκλινας κάραν· εἴσοδος μετὰ τοῦ εὐαπελίου, φῶς ἱλαρόν· τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα τῆς ἑορτῆς, κατὰ τὴν τάξιν αὐτῶν· ὡσαύτως καὶ τὰ προπάρια τῶν προφητειῶν, εἰς τὸν καιρὸν αὐτῶν, μετὰ τῶν στίχων· μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ἀναγνωσμάτων, γίνεται συναπτὴ μικρά· καὶ μετὰ τὴν ἐκφώνησιν, ψάλλομεν τὸν τρισάγιον ὕμνον· εἶτα προκείμενον ἦχος, γ̅· Κ̅ς̅ φωτισμός μου καὶ σῆρ μου· ἐτι· Κ̅ς̅ ὑπερασπιστὴς τῆς ζωῆς μου· Ο ἀπόστολος· πρὸς κορινθίους· Ἀδελφοὶ ἐλεύθερος ὢν ἐκ πάντων· Ἀλληλούϊα ἦχος γ̅· Εξηρεύξατο ἡ καρδία μου· ἐτι· Ὡραῖος κάλλει παρὰ τοὺς υἱούς· εὐαπέλιον κατὰ λουκᾶν· Εν ἔτει πέντε καὶ δεκάτῳ τῆς ἡγεμονίας· καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ μεγάλου βασιλείου· κοινωνικόν· Αἰνεῖται τὸν κν̄· Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν, ἐξερχόμεθα πάντες

τὰν ἐν τῇ κολυμβήθρα, προπορευομένου τοῦ ἱερέως, μετὰ λαμπάδων, καὶ θυμιατοῦ· Ἡμεῖς δὲ ψάλλομεν τὰ παρόντα ἦλ, ἐκ β'· ἦχος πλ δ'· φωνὴ κυ Ἐπὶ τῶν ὑδάτων βοᾶ λέγουσα· Σήμερον τῶν ὑδάτων· Ὡς ἄνθρωπος ἐν ποταμῷ· Δόξα καὶ νῦν, ἦχος πλ δ'· πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ· Καὶ τὰ ἀναγνώσματα· ὦ α'· προφητείας Ἡσαΐου· Ψάδε λέγει κς, εὐφράνθητι ἔρημος· ὦ β'· προφητείας Ἡσαΐου· Ψάδε λέγει κς· οἱ διψῶντες, πορεύεσθε· ὦ γ'· προφητείας Ἡσαΐου· Ψάδε λέγει κς, ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης· καὶ εὐθὺς ὦ προκείμενον· Κς φωτισμός μου καὶ σήρ μου· ἐξ· κς ὑπερασπιστὴς τῆς ζωῆς μου· Ὁ ἀπόστολος· πρὸς κορινθίους· Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ πρες· Ἀλληλούϊα, ἦχος δ'· φωνὴ κυ Ἐπὶ τῶν ὑδάτων· εὐαγγέλιον κατὰ μάρκον· Ψῶ καιρῶ ἐκείνω· ἦλθεν ἰς ἀπὸ ναζαρὲτ τῆς γαλιλαίας· Καὶ λεγομένου, δίδονται κηρία τοῖς ἀδελφοῖς· ὁ δὲ ἱερεὺς λέγει ὦ, ἐν εἰρήνῃ τοῦ κυ δεηθῶμεν, καὶ τὰ ἑξῆς· καὶ μετὰ τὴν συμπλήρωσιν τούτων, λέγει ὁ ἱερεύς· τὴν εὐχὴν μυστικῶς· τοῦ κυ δεηθῶμεν· κε ἰυ χε ὁ μονογενὴς υἱός· καὶ μετὰ τὴν τελείωσιν τῆς εὐχῆς, λέγει ὁ ἱερεὺς μεγαλοφώνως· Μέγας εἶ κε καὶ θαυμαστὰ τὰ ἔργα σου· καὶ μετὰ τὴν συμπλήρωσιν τῆς εὐχῆς· ὁ ἱερεὺς λέγει· εἰρήνη πᾶσι· Ψὰς κεφαλὰς Ἡμῶν· καὶ ἡ εὐχὴ μυστικῶς· κλῖνον κε ὦ οὖς σου· καὶ ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς Ἡμῶν· καὶ εὐθὺς εὐλογῶν τὰ ὕδατα σταυρωειδῶς μετὰ τοῦ τιμίου στροῦ, ὄρθιον αὐτὸν κατάγων ἐν τῷ ὕδατι, καὶ ἐπάδων τροπάριον εἰς ἦχον α'· Ἐν ἰορδάνῃ βαπτιζομένου σου κε, ἐκ γ'· καὶ πάντων ἁγιαζομένων, ἐκ τῆς τῶν ὑδάτων ῥαντίσεως, ψάλλεται ὦ, ἐν ἰορδάνῃ βαπτιζομένου σου κε· καὶ εἰσελθόντες ἐν τῷ ναῷ, δοξάζομεν, καὶ ψάλλομεν ἦλ ἦχος β'· ἀνυμνήσωμεν οἱ πιστοί· Εἶτα ὁ ψαλμός· Εὐλογήσω τὸν κν· καὶ δίδοται ὦ κατακλαστὸν, καὶ γίνεται τελεία ἀπόλυσις· εἶθ' οὕτως ψάλλομεν ὦ κοντάκιον τῆς ἑορτῆς· ἐπεφάνης σήμερον· καὶ πολυχρονίζομεν τὸν προεστῶτα· καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν· τυρὸν δὲ ἢ ἰχθύας, οὐκ ἐσθίομεν, εἰ μὴ ἔλαιον, πίνωμεν δὲ καὶ οἶνον, εὐχαριστοῦντες χν τὸν θν Ἡμῶν:~

Εἰ δὲ ἐν σαββάτῳ, ἢ κυριακῇ φθάσῃ λαχεῖν ἡ παραμονὴ, τελεῖται λειτουργία συνήθως τοῦ χρυσοστόμου· λέγεται δὲ ἐν ταύτῃ τῇ λειτουργίᾳ, ὁ ἀπόστολος πρὸς τιμόθεον· Ψέκνον τιμόθεε· οἱ καλῶς διακονήσαντες· ζήτει εἰς ὦ ὕφος, σαββάτῳ, λδ'· ἢ σάββατον πρὸ τῶν φώτων· εὐαγγέλιον κατὰ ματθαῖον· Ψῶ καιρῶ ἐκείνω, παραγίνεται ἰωάννης ὁ βαπτιστής· ζήτει εἰς ὦ μηνολόγιον· εἰ δὲ ἐστι κυριακὴ, λέγεται ὁ ἀπόστολος πρὸς τιμόθεον· Ψέκνον τιμόθεε νῆφε ἐν πᾶσι· εὐαγγέλιον ἐκ τοῦ κατὰ μάρκον· Ἀρχὴ τοῦ εὐαγγελίου ἰυ χυ· Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς λειτουργίας, οὐ ποιοῦμεν τράπεζαν, ἀλλ' ἐν τῷ νάρθηκι καθεσθέντες, ἐπιδίδοται Ἡμῖν παρὰ τοῦ κελαρίτου, ἀνὰ κλάσματος ἄρτου, μετὰ ὀλίγων ἰσχάδων, ἢ φοινίκων, καὶ ἀπὸ ἑνὸς ποτηρίου οἴνου· εἶθ' οὕτως ἀπελθόντες ἐν τοῖς κελλίοις Ἡμῶν, ἰδιάζομεν μέχρι τοῦ ἑσπερινοῦ·

Περὶ δὲ ὥραν, ι'· ἀρχόμεθα τοῦ λυχνικοῦ· εἴπερ οὖν τύχη Ἡ παραμονὴ ἐν σαββάτῳ, στιχολογεῖται ὦ πρῶτον κάθισμα ὅλον· Εἰ δὲ ἐν κυριακῇ, ὦ πρῶτον ἀντίφωνον· Εἰ δὲ ἐν ἄλλῃ Ἡμέρᾳ, ἐξ λ' οὐ γίνεται· Εἰς δὲ ὦ κε ἐκέκραξα οὐδὲν τῶν ἀναστασίμων ψάλλομεν, ἀλλὰ πάντα τῆς ἑορτῆς· ἱστῶμεν δὲ, ἐξ ἡ· καὶ ψάλλομεν τοὺς δ', Δευτέρους, ποιοῦντες τὰ δ', ἡ· Δόξα Ὁ νῦν, ἦχος ὁ αὐτός· αὐγούστου μοναρχήσαντος· εἴσοδος μετὰ τοῦ εὐαγγελίου· φῶς ἱλα-

εὐμ· Ὃ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα τῆς ἑορτῆς, κατὰ τὴν τάξιν αὐτῶν· μετὰ τῶν τροπαρίων, Ὃ τῶν ἤχων, καθὼς γέγραπται· Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν προφητειῶν, αὖθις Ὃ προκείμενον τῆς ἀποστόλου· καὶ φωτισμός μου καὶ σωτήρ μου· ℟· καὶ ὑπερασπιστὴς τῆς ζωῆς μου· Οὐ δὲ γὰρ λέγεται τρισάγιον· εἶτα ὁ ἀπόστολος· πρὸς κορινθίους· ἀδελφοὶ ἐλεύθεροι ὦμεν ἐκ παλαιότητος· ἀλληλούϊα· ℟· Ἐξηράνθη ἡ καρδία μου· ℟· Ὡραῖος κάλλει παρὰ τοὺς υἱούς· ἀναπέλιον τῆς ἑορτῆς ἐκ τῆς κατὰ λαοκάμ· Ἓν ἔτει πέμπτε καὶ δεκάτῳ· ἐὰν οὕτως ἐκτενῆ, αἱ συνήθως αἰτήσεις· καὶ μετὰ τὴν ἐκφώνησιν, ἀξελθόντων ἡμῶν ἐν τῷ ναρθηκι, γίνεται ὁ ἁγιασμὸς ἀπαραλλάκτως ὡς προδεδήλωται· εἶτα εἰσερχόμενοι ἐν τῷ ναῷ· ψάλλομεν Ὃ προκείμενον· ℟· Ἀναμνησθησόμεθα οἱ πρῳΐ· Ὃ γίνεται παρὰ τῆς ἱερέως ἐκτενῆ, καὶ ἀπόλυσις· Ὃ δὲ ἀναγνώσεται τὴν κτ, οὐ λέγομεν, διὰ Ὃ προλελεχθῆναι ἐν τῇ λειτουργίᾳ· Μετὰ δὲ τὴν ἀπόλυσιν, εἴτε λειτουργία γίνεται, εἴτε οὔ, ἄψαλτον μαγουάλια ἐν μέσῳ τοῦ ναοῦ φοιχόδομοι οἱ ἀδελφοὶ ψάλλουσι Ὃ τῆς ἑορτῆς ἀπολυτίκιον καὶ Ὃ κοντάκιον· ἔπειτα, ἵστανται πέντε μοναχοὶ εἰς Ὃ μέσον, ἢ ὁ διάκονος ἀλλαγμένος, καὶ μὴ Ὃ κοντάκιον, φιμίζει τοὺς βασιλεῖς, καὶ τὸν ἀρχιερέα τῆς ἐνορείας τῆς μονῆς· εἰς δὲ τὸν προεχώτα λέγει :~

Ὅσιε ὁ θς τὸν πανοσιώτατον πρῶτον ἡμῶν καὶ καθηγούμενον, σὺν πάσῃ τῇ ἐν χῷ ἡμῶν ἀδελφότητι· ἐκτενῶς τοῦτο·

Καὶ ὅπως πληρωθῇ ὁ πολυχρονισμός· ἐὰν εἰσερχόμεθα εἰς τὴν τράπεζαν· τυγχ, ἢ ὠὸν, οὐκ ἐσθίομεν· εἰ μὴ ἔλαιον καὶ οἶνον· καὶ εἰ δόξει τῷ προεχώτι, μεταλαμβάνομεν καὶ ἰχθύος· δοξάζομεν τὸν τὸν θν :~

Χριστὸν ὅτι ἐὰν τύχῃ, ἡ παραμονὴ ἐν τῷ βαπτιστηρίῳ ἡ χειροτονία τῆς χρυσοστόμου τελεῖται ὡς εἴρηται εἰς τὴν ὥραν αὐτῆς· ἡ δὲ τοῦ μεγάλου βασιλείου, τελεῖται τῇ ἐπαύριον, ἤτοι, κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς :~

Μνεία τῷ αὐτῷ ϛ· τὰ ἅγια θεοφανεία τοῦ κυ ἡμῶν ἰυ χυ· ἐπιφάνειας εἰς Ὃ κε ἐκέφαξα· ἰχθύομεν ℟· ἡ· χειρὶ ℟·

Ἦχος β· Ἰωάννου μοναχοῦ·

Ὁ φωτισμὸν ἡμῖν, τὸν φωτίσαντα πάντα ἄνθρωπον· ἰδὼν ὁ πρόδρομος βαπτισθῆναι παραγενόμενον· χαίρει τῇ ψυχῇ καὶ φέρει τῇ χειρὶ δείκνυσιν αὐτὸν Ὃ λέγει τοῖς λαοῖς· ἴδε ὁ λυτρούμενος τὸν ἰηλ· ὁ ἐλευθεροῦν ἡμᾶς ἐκ τῆς φθορᾶς· ὦ ἁμαρτίαι· χε ὁ θς ἡμῶν δόξα σοι :~ δίς·

Οὐ λυτρωτὴν ἡμῶν τὸν δούλου βαπτιζόμενον· καὶ τὴν τῆς πρε παρουσίαν μαρτυρουμένου· ἔφριξεν ὄρος ἰδεῖν ἀπέλων γραπταί· φωνὴ δὲ οὐρανόθεν ἠκούσθη πρε· ἔφρικε ὁ πρόδρομος χειροτεῖ, υἱός μου ὑπάρχει ὁ ἀληπτος, ἐν ᾧ ἠυδόκησα· χε ὁ θς ἡμῶν δόξα σοι :~ δίς·

Ἀιορδάνια ῥεῖθρα, σὲ τὴν πηγὴν ἐδέξατο· καὶ ὁ παράκλητος ἐν εἴδει περιστερᾶς κατεῖρχετο· κλίνῃ κορυφὴν ὁ κλίνας οὐρανούς· κράζει καὶ βοᾷ πηλὸς τῷ πλαστουργῷ· τί μοι ἐπιτάττῃς τὰ ὑπὲρ ἐμέ· ἐγὼ χρείαν ἔχω τοῦ σοῦ βαπτισμοῦ· ὦ ἁμαρτίαι· χε ὁ θς ἡμῶν δόξα σοι :~ δίς·

Ὥσπερ βουλόμενος, τὸν πλαστουργὸν τὸν ἄνθρωπον· οὐκ ἀπηξίωσας δούλου μορφὴν ἐνδύσασθαι· ἔπρεπε γάρ σοι τῷ δι' ἀσθένειαν Ὃ θῶ, ἁμαρτίαν δέξασθαι τὰ ἡμῶν ὑπὲρ ἡμῶν· σοῦ γὰρ βαπτισθέντος σαρκὶ λυτρωταί, τῆς ἀφέσεως ἠξίωσας ἡμᾶς· διὸ βοῶμέν σοι· χε ὁ θς ἡμῶν δόξα σοι· δίς· Δόξα ἐν μιᾷ· Ὁ αὐτός·

Ῥύζαμπος·

ὑπέκλιμας

Υπέκλινας καρὰν τῷ προδρόμῳ· συνέθλασας καρὰς τῶν δρακόντων· ἐπέστης ἐν τοῖς ῥείθροις, ἐφώτισας τὰ σύμπαντα· τοῦ δοξάζειν σε σήρ, τὸν φωτισμὸν τῶν ψυχῶν ἡμῶν:~

Εἴσοδος τοῦ φῶς ἱλαρόν· εἶτα τὰ ἀναγνώσματα· γενέσεως τοῦ ἀνά· α·

Ἐν ἀρχῇ ἐποίησεν ὁ θς τὸν οὐνὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ πνᾶ θυ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος· καὶ εἶπεν ὁ θς· γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· καὶ εἶδεν ὁ θς τοῦ φῶς ὅτι καλόν· καὶ διεχώρισεν ὁ θς ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους· καὶ ἐκάλεσεν ὁ θς τοῦ φῶς, ἡμέραν· καὶ τοῦ σκότος ἐκάλεσε νύκτα· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία· καὶ εἶπεν ὁ θς· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος· καὶ ἐγένετο οὕτως· καὶ ἐποίησεν ὁ θς τοῦ στερέωμα· καὶ διεχώρισεν ὁ θς ἀνὰ μέσον τοῦ ὕδατος ὃ ἦν ὑπὸ κάτω τοῦ στερεώματος· καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος· καὶ ἐγένετο οὕτως· καὶ ἐκάλεσεν ὁ θς τοῦ στερέωμα, οὐνόν· καὶ εἶδεν ὁ θς ὅτι καλὸν, καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα· καὶ εἶπεν ὁ θς· συναχθήτω τοῦ ὕδωρ τοῦ ὑπὸ κάτω τοῦ οὐνοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρὰ, καὶ ἐγένετο οὕτως· καὶ συνήχθη τοῦ ὕδωρ τοῦ ὑπὸ κάτω τοῦ οὐνοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά· καὶ ἐκάλεσεν ὁ θς τὴν ξηραὶν γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων, ἐκάλεσε θαλάσσας· καὶ εἶδεν ὁ θς ὅτι καλὸν, καὶ εἶπεν ὁ θς· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα· καὶ ξύλον καρπίμον ποιοῦν καρπόν· οὗ τοῦ σπέρμα αὐτοῦ ἐν αὐτῷ, κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτως· καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα ἐπὶ τῆς γῆς· καὶ ξύλον καρπίμον ποιοῦν καρπὸν, οὗ τοῦ σπέρμα αὐτοῦ ἐν αὐτῷ, κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ εἶδεν ὁ θς ὅτι καλὸν, καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη:~

τῆς ἐξόδου τοῦ ἀνάγνωσμα· β·

Εἶπε κς πρὸς μωσῆν, τί βοᾶς πρὸς με· λάλησον τοῖς υἱοῖς ἰήλ καὶ ἀναζευξάτωσαν· καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ῥῆξον αὐτήν· καὶ εἰσελθέτωσαν οἱ υἱοὶ ἰήλ εἰς μέσον τῆς θαλάσσης κατὰ τοῦ ξηρόν· καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ τὴν καρδίαν φαραῶ καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ τῶν αἰγυπτίων πάντων· καὶ εἰσελεύσονται ὀπίσω αὐτῶν· καὶ ἐνδοξασθήσομαι ἐν φαραῶ καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ, καὶ ἐν τοῖς ἅρμασι καὶ ἐν τοῖς ἵπποις αὐτοῦ· καὶ γνώσονται πάντες οἱ αἰγύπτιοι ὅτι ἐγώ εἰμι κς, ἐν δοξαζομένου μου ἐν φαραῶ, καὶ ἐν τοῖς ἅρμασι καὶ ἐν τοῖς ἵπποις αὐτοῦ· ἐξέτεινε δὲ μωσῆς τὴν χεῖρα, ἐπὶ τὴν θάλασσαν, καὶ ἐπήγαγε κς τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκτα, καὶ ἐποίησε τὴν θάλασσαν ξηραν· καὶ ἐσχίσθη τοῦ ὕδωρ, καὶ εἰσῆλθον οἱ υἱοὶ ἰήλ, εἰς μέσον τῆς θαλάσσης κατὰ τοῦ ξηρόν· καὶ τοῦ ὕδωρ αὐτοῖς τεῖχος ἐκδεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων· κατεδίωξαν δὲ οἱ αἰγύπτιοι, καὶ εἰσῆλθον ὀπίσω αὐτῶν πᾶσα ἡ ἵππος φαραῶ, καὶ τὰ ἅρματα, καὶ οἱ ἀναβάται εἰς μέσον τῆς θαλάσσης· ἐξέτεινε δὲ μωσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἀπεκατεστάθη τοῦ ὕδωρ πρὸς ἡμέραν ἐπὶ χώρας· οἱ δὲ αἰγύπτιοι ἔφυγον ἐπὶ τοῦ ὕδωρ· καὶ ἐξετείναξε κς τοὺς αἰγυπτίους εἰς μέσον τῆς θαλάσσης· καὶ ἐπαναστραφὲν τοῦ ὕδωρ ἐκάλυψε τὰ ἅρματα καὶ τοὺς ἀναβάτας, καὶ πᾶσαν τὴν δύναμιν φαραῶ, τοὺς εἰς πορευομένους ὀπίσω αὐτῶν ἐπὶ τὴν θάλασσαν· οὐ κατελείφθη ἐξ αὐτῶν

τῶν οὐ δὲ εἷς· οἱ δὲ υἱοὶ ἰη̄λ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης:~

τῆς ἐξόδου τοῦ ἀνάγνωσμα· γ'·

